ὅσσα ῥοώδε' ἔασι καὶ αὖα προσάρματα πάντα,
ἔξοχα δ' ὅσσα πέλει μελιηδέος εἴδατ' ὀπώρης
πυθεδόν' ἐς δριμεῖαν ἀεικελίως μεταθεῖσα (σ)
χυμοὺς πάντας ἔθηκε χολώδεας ἰαμιγεῖς τε.
οἵ ῥα μάλ' εὐπετέως πυρετὸν τέκον ὀβριμοεργὸν,
ἠὲ δυσεντερίην αἱμόῤῥοον ἀλγινόεσσαν (τ),
εὖτ' ἔντοσθι τραπεῖεν ἐς ἔντερα δριμέες οἵδε,
ταῦτ' αἰνῶς δ' ἐρέθοιεν ἅλις νευρώδε' ἐόντα,
καδδ' ὑμένας δρύπτοιεν ἀμύξ σφιν φλεγμασίῃσιν.
ῥεῖ' αὖτ' ἐκγεγάασιν ὀλώϊα πήματα τοῖα,
εὖτέ τις ἰδαλίμοιο θέρευς πυροέσσῃ ἀϋτμῇ,
ἠέ χ' ἅλις καμάτῳ δεδμημένος αἴθριος εὕδῃ
ὀρφναίης νυκτὸς μετὰ μέσσατον, ἀμφὶ δ' ἄρ' ἱδρὼς
πάντοθεν ἐκ μελέων οἱ ἐπέσσυται· αἶψα δ' ἀήτης
ψυχρὸς ἀεὶς ψύξῃσι δέμας δ' οἱ ἴδ' ἅψεα πάντα
ἦδὺ μάλα κυώσσοντι, θέῃ δὲ παλίσσυτον ἱδρῶ·
τόφρα γὰρ ἰδάλιμοι χυμοὶ μάλα δριμέες οἵδε
ἄψ ποτὶ χρῶτ' ἔντοσθι φλεβῶν μέγα λύθρῳ ἰόντες
ῥευςαλέ' οἷσι κέκρηντ' εἶν ἔγκασι δριμέα θῆκαν.
τοὔνεκ' ἀειθερέεσσι μεσημερίοισί τε μᾶλλον
ἡμερίους δαμνᾷ κακοεργὸς ὅδ' ἡμιτριταῖος (υ),
ἠέ περ ἀρκτώῃς ἐνὶ χώρῃς ναιετάοντας,

σκε-

---

(σ) Γαλην. περὶ τροφῶν δυνάμ. Β. εὐχυμ. ϗ κακοχυμ. Γ. ι. δ. ἐπιδημ. Ζ. μ. Α' ἐτ. Α' μιδ. Β. σμε. συα. (τ) ἐπιδημ. Α. α. (υ) Γαλην. ὑπομνημ. Β. ἐπιδημ. Α.